Ἔστιν δὲ ἀμφοτέροις μὲν ἀμφότερα ἀνάγκῃ κατεχόμενα
ἀποδιδόναι, τὰ δὲ τῶν θηλειῶν αὐτῷ τῷ τῆς φύσεως ἑκατέ-
ρου διαφέροντι, τούτῳ δεῖ καὶ διασαφεῖν. Τὸ δὴ μεγα-
λοπρεπὲς οὖν καὶ τὸ πρὸς τὴν ἀνδρείαν ῥέπον ἀρρενωπὸν
φατέον εἶναι, τὸ δὲ πρὸς τὸ κόσμιον καὶ σῶφρον μᾶλλον
ἀποκλῖνον θηλυγενέστερον ὡς ὂν παραδεικτέον ἔν τε τῷ
νόμῳ καὶ λόγῳ. Τάξις μὲν δή τις αὕτη· τούτων δὲ αὐτῶν 803 a
διδασκαλία καὶ παράδοσις λεγέσθω τὸ μετὰ τοῦτο, τίνα
τρόπον χρὴ καὶ οἷστισιν καὶ πότε πράττειν ἕκαστα αὐτῶν.
Οἷον δή τις ναυπηγὸς τὴν τῆς ναυπηγίας ἀρχὴν καταβαλ-
λόμενος τὰ τροπιδεῖα ὑπογράφεται τῶν πλοίων σχήματα,
ταὐτὸν δή μοι κἀγὼ φαίνομαι ἐμαυτῷ δρᾶν, τὰ τῶν βίων
πειρώμενος σχήματα διαστήσασθαι κατὰ τρόπους τοὺς τῶν
ψυχῶν, ὄντως αὐτῶν τὰ τροπιδεῖα καταβάλλεσθαι, ποίᾳ
μηχανῇ καὶ τίσιν ποτὲ τρόποις συνόντες, τὸν βίον ἄριστα b
διὰ τοῦ πλοῦ τούτου τῆς ζωῆς διακομισθησόμεθα, τοῦτο
σκοπῶν ὀρθῶς. Ἔστι δὴ τοίνυν τὰ τῶν ἀνθρώπων πράγ-
ματα μεγάλης μὲν σπουδῆς οὐκ ἄξια, ἀναγκαῖόν γε μὴν
σπουδάζειν· τοῦτο δὲ οὐκ εὐτυχές. Ἐπειδὴ δὲ ἐνταῦθά
ἐσμεν, εἴ πως διὰ προσήκοντός τινος αὐτὸ πράττοιμεν,
ἴσως ἂν ἡμῖν σύμμετρον ἂν εἴη. Λέγω δὲ δὴ τί ποτε; ἴσως
μεντ᾽ ἄν τίς μοι τοῦτ᾽ αὐτὸ ὑπολαβὼν ὀρθῶς ὑπολάβοι.

ΚΛ. Πάνυ μὲν οὖν. c

ΑΘ. Φημὶ χρῆναι τὸ μὲν σπουδαῖον σπουδάζειν, τὸ δὲ
μὴ σπουδαῖον μή, φύσει δὲ εἶναι θεὸν μὲν πάσης μακαρίου

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416228046/33 UNIVERSITÄT LEIPZIG